[illegible] ἀπὸ τοῦ λήμματος:

[illegible]

ἀπὸ τῆς Β. ἴσον τὸ ὑπὸ τῶν Γ Δ· ὡς ἄρα ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ὑπὸ τῶν Γ Δ· ὡς δὲ τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ὑπὸ τῶν Γ Δ, οὕτως ἡ Γ πρὸς τὴν Δ· καὶ ὡς ἄρα ἡ Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ. σύμμετρος δὲ ἡ Α τῇ Β δυνάμει μόνον· σύμμετρος ἄρα καὶ ἡ Γ τῇ Δ δυνάμει μόνον· καί ἐστι μέση ἡ Γ· μέση ἄρα καὶ ἡ Δ. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Β ἡ Γ πρὸς τὴν Δ· ἡ δὲ Α τῆς Β μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· καὶ ἡ Γ ἄρα τῆς Δ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. εὕρηνται δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ Γ Δ ῥητὸν περιέχουσαι. καὶ ἡ Γ τῆς Δ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. ὁμοίως δὴ δειχθήσεται καὶ τῷ ἀπὸ ἀσυμμέτρου ὅταν ἡ Α τῆς Β μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ:-



λβ' Εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους μέσον περιεχούσας. ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. ἐκκείσθωσαν τρεῖς ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α Β Γ· ὥστε τὴν Α τῆς Γ μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· καὶ τῷ μὲν ὑπὸ τῶν Α Β ἴσον ἔστω τὸ ἀπὸ τῆς Δ. μέσον ἄρα τὸ ἀπὸ τῆς Δ. καὶ ἡ Δ ἄρα μέση ἐστί. τῷ δὲ ὑπὸ τῶν Β Γ ἴ-

[illegible]

σον ἔστω τὸ ὑπὸ τῶν Δ Ε. καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ τῶν Α Β πρὸς τὸ ὑπὸ τῶν Β Γ, οὕτως ἡ Α πρὸς τὴν Γ. ἀλλὰ τῷ μὲν ὑπὸ τῶν Α Β ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Δ. τῷ δὲ ὑπὸ τῶν Β Γ ἴσον τὸ ὑπὸ τῶν Δ Ε· ἔστιν ἄρα ὡς ἡ Α πρὸς τὴν Γ, οὕτως τὸ ἀπὸ τῆς Δ πρὸς τὸ ὑπὸ τῶν Δ Ε. ὡς δὲ τὸ ἀπὸ τῆς Δ πρὸς τὸ ὑπὸ τῶν Δ Ε, οὕτως ἡ Δ πρὸς τὴν Ε· καὶ ὡς ἄρα ἡ Α πρὸς τὴν Γ, οὕτως ἡ Δ πρὸς τὴν Ε. σύμμετρος δὲ ἡ Α τῇ Γ δυνάμει μόνον· σύμμετρος ἄρα καὶ ἡ Δ τῇ Ε δυνάμει μόνον. μέση δὲ ἡ Δ· μέση ἄρα καὶ ἡ Ε. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Γ, ἡ Δ πρὸς τὴν Ε. ἡ δὲ Α τῆς Γ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ Δ ἄρα τῆς Ε μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. λέγω δὴ ὅτι καὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν Δ Ε. ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν Β Γ τῷ ὑπὸ τῶν Δ Ε. μέσον δὲ τὸ ὑπὸ τῶν Β Γ, μέσον ἄρα καὶ τὸ ὑπὸ τῶν Δ Ε. εὕρηνται ἄρα δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ Δ Ε μέσον περιέχουσαι. ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. ὁμοίως δὴ πάλιν δειχθήσεται καὶ τῷ ἀπὸ ἀσυμμέτρου. ὅταν ἡ Α τῆς Γ μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ:-

αἱ γὰρ Β Γ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι.

[illegible] λήμματος [illegible]

[illegible] λήμματος [illegible]



+ ΛΗΜΜΑ:-

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ. ὀρθὴν ἔχον τὴν

[illegible]

BIBLIOTHECA BODLEIANA